*Naslov izvirnika: Διονυσίου τοῦ Θρᾳκὸς τέχνη γραμματική*
*prevod:Albert Pikuš*

*Dionizij Traški*
*Slovnica*

# Predgovor

Dionizijeva Slovnica predstavlja najstarejše ohranjeno slovnično delo zahodnega sveta. Z jezikom so se ukvarjali že predsokratiki, vendar velja Aristotel za utemeljitelja klasične evropske slovnice. Prvi je poskušal razdeliti besede v vrste, definiral je glagol in samostalnik in se ukvarjal z definicijo stavka. Vse to se lahko prebere predvsem v Organonu. Do aleksandrijske slovnične šole ostaja slovnica v domeni filozofov. Z aleksandrijsko šolo pa postane slovnica predmet, s katerim se ukvarjajo specializirani strokovnjaki. Aristarh Samotraški (216-144) je kot knjižničar Aleksandrijske knjižnice nasledil Aristofana iz Bizanca. Njegov največji pomen je, da so se ohranili tako kvalitetni teksti Homerja. Napisal je veliko slovničnih del, ki pa so se ohranila zgolj v fragmentih. Njegov učenec je bil Dionizij Traški. Njegova slovnica se je več generacij uporabljala v šolah rimskega imperija. Iz aleksandrijske šole je bil za njim posebej pomemben Apollonius Dyskoulus (iz drugega stoletja našega štetja). Od njegovih dvajsetih del so ohranjene štiri O skladnji, O prislovih, O veznikih in O zaimkih.

O prevodu

Prevod je kar se da dobeseden. Nekaterih izrazov ne boste našli v Slovarju slovenskega knjižnega jezika, vendar mislim, da so dovolj razumljivi in ne preveč moteči. Nekatera pojmovanja so se od tistih časov precej spremenila, tako da tudi nekateri slovnični izrazi danes nimajo več istega pomena kot takrat. Grške besede v slovenskem tekstu imajo v oklepaju samo približen prevod samo z eno besedo. Najbrž bi moral napisati tudi opombe, vendar trenutno ne utegnem. Prevodi iz Homerja so Sovretovi.

*Διονύσιος ὁ Θρᾶιξ, φιλόλογός τε καὶ γραμματικός, ἐγένετο μὲν ἐν Ἀλεξανδρείαι περὶ τὸ ἔτος ρο´, μαθητὴς δὲ Ἀριστάρχου τοῦ γραμματικοῦ. περὶ τὸ ἔτος ρμ´ ἐν Ῥόδωι διέτριβε. ἐτελεύτησε δὲ περὶ τὸ ἔτος ϙ´ πρὸ Χριστοῦ.*

*Σοῦδα:*
*Διονύσιος, Ἀλεξανδρεύς, Θρᾷξ δὲ ἀπὸ τοῦ πατρὸς Τήρου τοὔνομα κληθείς, Ἀριστάρχου μαθητής, γραμματικός. ὃς ἐσοφίστευσεν ἐν Ῥώμῃ ἐπὶ Πομπηΐου τοῦ μεγάλου καὶ ἐξηγήσατο Τυραννίωνι τῷ προτέρῳ. συνέταξε δὲ πλεῖστα γραμματικά τε καὶ συνταγματικὰ καὶ ὑπομνήματα.*

*Dionizij Traški, jezikoslovec in slovničar, rodil se je v Aleksandriji okoli leta 170, učenec jezikoslovca Aristarha. Okoli leta 140 je bival na Rodosu. Umrl je okoli leta 90 pred Kristusom.*

*Suidas:*
*Dionizij Aleksandrijski, po očetu Terosu imenovan Traški, Aristarhov učenec, slovničar. V času Pompeja Velikega poučeval v Rimu in bil učitelj Tiraniona starejšega. Napisal je veliko slovničnih del, razprav in komentarjev.*

# *Διονυσίου τοῦ Θρᾳκὸς τέχνη γραμματική*

*Dionizij Traški*
*Slovnica*

# *Περιεχόμενα*


*α´ ..................................περὶ γραμματικῆς.*
*β´ ..................................περὶ ἀναγνώσεως.*
*γ´ ..................................περὶ τόνου.*
*δ´ ..................................περὶ στιγμῆς.*
*ε´ ..................................περὶ ῥαψωιδίας.*
*ς´ ..................................περὶ στοιχείου.*
*ζ´ ..................................περὶ συλλαβῆς.*
*η´ ..................................περὶ μακρᾶς συλλαβῆς.*
*θ´ ..................................περὶ βραχείας συλλαβῆς.*
*ι´ ..................................περὶ κοινῆς συλλαβῆς.*
*ια´ ................................περὶ λέξεως.*
*ιβ´ ................................περὶ ὀνόματος.*
*ιγ´ ................................περὶ ῥήματος.*
*ιδ´ ................................περὶ συζυγίας.*
*ιε´ ................................περὶ μετοχῆς.*
*ις´ ................................περὶ ἄρθρου.*
*ιζ´ ................................περὶ ἀντωνυμίας.*
*ιη´ ................................περὶ προθέσεως.*
*ιθ´ ................................περὶ ἐπιρρήματος.*
*κ´ ..................................περὶ συνδέσμου.*

*Vsebina*


*1.................................O slovnici.*
*2.................................O branju.*
*3.................................O naglasu.*
*4.................................O ločilih.*
*5.................................O recitiranju.*
*6.................................O elementih.*
*7.................................O zlogih.*
*8.................................O dolgih zlogih.*
*9.................................O kratkih zlogih.*
*10...............................O skupnih zlogih.*
*11...............................O besedah.*
*12...............................O samostalniku.*
*13...............................O glagolu.*
*14...............................O spregatvi.*
*15...............................O deležniku.*
*16...............................O členu.*
*17...............................O zaimku.*
*18...............................O predlogu.*
*19...............................O prislovu.*
*20...............................O vezniku.*

## α´
## περὶ γραμματικῆς.

*Γραμματική ἐστιν ἐμπειρία τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν ὡς ἐπὶ τὸ πολὺ λεγομένων. Μέρη δὲ αὐτῆς ἐστιν ἕξ· πρῶτον ἀνάγνωσις ἐντριβὴς κατὰ προσῳδίαν, δεύτερον ἐξήγησις κατὰ τοὺς ἐνυπάρχοντας ποιητικοὺς τρόπους, τρίτον γλωσσῶν τε καὶ ἱστοριῶν πρόχειρος ἀπόδοσις, τέταρτον ἐτυμολογίας εὕρεσις, πέμπτον ἀναλογίας ἐκλογισμός, ἕκτον κρίσις ποιημάτων, ὃ δὲ κάλλιστόν ἐστι πάντων τῶν ἐν τῇ τέχνῃ.*

## β´
## περὶ ἀναγνώσεως.

*Ἀνάγνωσίς ἐστι ποιημάτων ἢ συγγραμμάτων ἀδιάπτωτος προφορά. Ἀναγνωστέον δὲ καθ᾽ ὑπόκρισιν, κατὰ προσῳδίαν, κατὰ διαστολήν· ἐκ μὲν γὰρ τῆς ὑποκρίσεως τὴν ἀρετήν, ἐκ δὲ τῆς προσῳδίας τὴν τέχνην, ἐκ δὲ τῆς διαστολῆς τὸν περιεχόμενον νοῦν ὁρῶμεν· ἵνα τὴν μὲν τραγῳδίαν ἡρωϊκῶς ἀναγνῶμεν, τὴν δὲ κωμῳδίαν βιωτικῶς, τὰ δὲ ἐλεγεῖα λιγυρῶς, τὸ δὲ ἔπος εὐτόνως, τὴν δὲ λυρικὴν ποίησιν ἐμμελῶς, τοὺς δὲ οἴκτους ὑφειμένως καὶ γοερῶς. τὰ γὰρ μὴ παρὰ τὴν τούτων γινόμενα παρατήρησιν καὶ τὰς τῶν ποιητῶν ἀρετὰς καταρριπτεῖ καὶ τὰς ἕξεις τῶν ἀναγιγνωσκόντων καταγελάστους παρίστησιν.*

## γ´
## περὶ τόνου.

*Τόνος ἐστὶν ἀπήχησις φωνῆς ἐναρμονίου, ἢ κατὰ ἀνάτασιν ἐν τῇ ὀξείᾳ, ἢ κατὰ ὁμαλισμὸν ἐν τῇ βαρείᾳ, ἢ κατά περίκλασιν ἐν τῇ περισπωμένῃ.*

## *1.*
## *O slovnici.*

*Slovnica je veščina govorice na splošno (običajne) v rabi pri pesnikih in pisateljih. Deli se na šest delov: prvič, vešče branje v skladu s prozodijo, drugič, razlaga na osnovi pesniških figur, tretjič, podajanje jezikovnih posebnosti in zgodb, četrtič, prepoznavanje pravega pomena besed, petič, presoja slovnične pravilnosti, šestič, kritika pesniških del, ki je najplemenitejše iz med vsega v veščini.*

## *2.*
## *O branju.*

*Branje je tekoče podajanje pesniških ali proznih del. Brati je treba s primernim izrazom, v skladu s prozodijo in upoštevajoč premore. Iz izraza razberemo vrednost, iz prozodije veščino, iz premorov pomen. Tako beremo tragedijo heroično, komedijo pogovorno, elegijo z jasnim glasom, epiko odločno, lirsko pesništvo melodično, žalostinke umirjeno in žalobno. Kadar se tega ne upošteva, se zmanjšuje vrednost pesnikov, sposobnosti bralca pa se izpostavlja posmehu.*

## *3.*
## *O naglasu.*

*Naglas je harmoničen zven glasu, vzpenjajoč pri ostrivcu, poravnan pri krativcu in prelomljen pri cirkumfleksu.*

## δ´
## περὶ στιγμῆς.

*Στιγμαί εἰσι τρεῖς· τελεία, μέση, ὑποστιγμή. καὶ ἡ μὲν τελεία στιγμή ἐστι διανοίας ἀπηρτισμένης σημεῖον, μέση δὲ σημεῖον πνεύματος ἕνεκεν παραλαμβανόμενον, ὑποστιγμὴ δὲ διανοίας μηδέπω ἀπηρτισμένης ἀλλ᾽ ἔτι ἐνδεούσης σημεῖον.*

*Τίνι διαφέρει στιγμὴ ὑποστιγμῆς; χρόνῳ· ἐν μὲν γὰρ τῇ στιγμῇ πολὺ τὸ διάστημα, ἐν δὲ τῇ ὑποστιγμῇ παντελῶς ὀλίγον.*

## ε´
## περὶ ῥαψωιδίας.

*Ῥαψωιδία ἐστὶ μέρος ποιήματος ἐμπεριειληφός τινα ὑπόθεσιν. εἴρηται δὲ ῥαψωιδία οἱονεὶ ῥαβδωιδία τις οὖσα, ἀπὸ τοῦ δαφνίνῃ ῥάβδῳ περιερχομένους ᾄιδειν τὰ Ὁμήρου ποιήματα.*

## ϛ´
## περὶ στοιχείου.

*Γράμματά ἐστιν εἰκοσιτέσσαρα ἀπο τοῦ α μέχρι τοῦ ω. γράμματα δὲ λέγεται διὰ τὸ γραμμαῖς καὶ ξυσμαῖς τυποῦσθαι· γράψαι γὰρ τὸ ξῦσαι παρὰ τοῖς παλαιοῖς, ὡς καὶ παρ᾽ Ὁμήρῳ·*

*«νῦν δέ μ᾽ ἐπιγράψας τάρσον ποδὸς εὔχεαι αὔτως» (Λ 388).*

*Τὰ δὲ αὐτὰ καὶ στοιχεῖα καλεῖται διὰ τὸ ἔχειν στοῖχόν τινα καὶ τάξιν.*

*Τούτων φωνήεντα μέν ἐστιν ἑπτά· α, ε, η, ι, ο, υ καὶ ω. φωνήεντα δὲ λέγεται, ὅτι φωνὴν ἀφ᾽ ἑαυτῶν ἀποτελεῖ, οἷοω ἆ, ἦ. Τῶν δὲ φωνηέντων μακρὰ μέν ἐστι δύο, η καὶ ω, βραχέα δύο, ε καὶ ο, δίχρονα*

## 4.
## *O ločilih.*

*Ločila so tri: pika, srednja pika, vejica. In sicer pika je znak za zaključeno misel, srednja pika je znak, da se zajame sapo, vejica pa je znak, da misel nikakor še ni zaključena, ampak da nekaj še manjka.*

*V čem se razlikuje pika od vejice? V času; pri piki je premor dolg, pri vejici pa čisto majhen.*

## 5.
## *O recitiranju.*

*Rapsodija je del pesnitve, ki zaobjema določeno temo. Reče se ji rapsodija, se pravi nekakšna rabdodija, zaradi lovorovih šib pevcev, ki so hodili okoli in peli Homerjeve pesnitve.*

## 6.
## *O elementih.*

*Črk je od α do ω štiriindvajset. Črke (γϱαμματα) se jim pravi, ker so iz črt in prask. Pisati (γϱαψαι) je nekoč pomenilo praskati, tako kot pri Homerju:*

*«νῦν δέ μ᾽ ἐπιγϱάψας τάϱσον ποδὸς εὔχεαι αὔτως»*

*(Zdaj pa se ustiš zaman, ko si komaj me oprasnil po nogi!)*

*(Iliada 11 388)*

*Pravi se jim tudi elementi, ker se razvrščajo v vrste in redove.*

*Od teh je sedem samoglasnikov: α, ε, η, ι, ο, υ, ω. Samoglasniki se jim pravi, ker sami zase tvorijo popoln glas, kakor ἆ, ἦ. Dva samoglasnika η in ω sta dolga, dva ε in ο kratka, trije α, ι in υ dvoznačni. Dvoznačni se*

*τρία, α, ι καὶ υ. δίχρονα δὲ λέγεται, ἐπεὶ ἐκτείνεται καί συστέλλεται. Προτακτικὰ φωνήεντα πέντε· α, ε, η, ο, ω. προτακτικὰ δὲ λέγεται, ὅτι προτασσόμενα τοῦ ι καὶ υ συλλαβὴν ἀποτελεῖ, οἷον αι, αυ. ὑποτακτικὰ δύο· ι καὶ υ. καὶ τὸ υ δὲ ἐνιότε προτακτικόν ἐστι τοῦ ι, ὡς ἐν τῷ μυῖα καὶ ἅρπυια υἱος, καὶ τοῖς ὁμοίοις. Δίφθογγοι δέ εἰσιν ἕξ· αι, αυ, ει, ευ, οι, ου.*

*Σύμφονα δὲ τὰ λοιπὰ ἑπτακαίδεκα· β, γ, δ, ζ, θ, κ, λ, μ, ν, ξ, π, ρ, σ, τ, φ, χ, ψ. σύμφονα δὲ λέγονται, ὅτι αὐτὰ μὲν καθ᾽ ἑαυτὰ φωνὴν οὐκ ἔχει, συντασσόμενα δὲ μετὰ τῶν φωνηέντων φωνὴν ἀποτελεῖ. Τούτων ἡμίφωνα μέν ἐστιν ὀκτώ· ζ, ξ, ψ, λ, μ, ν, ρ, σ. ἡμίφωνα δὲ λέγεται, ὅτι παρ᾽ ὅσον ἧττον τῶν φωνηέντων εὔφωνα καθέστηκεν ἔν τε τοῖς μυγμοῖς καὶ σιγμοῖς. ἄφωνα δέ ἐστιν ἐννέα· β, γ, δ, κ, π, τ, θ, φ, χ· ἄφωνα δὲ λέγεται, ὅτι μᾶλλον τῶν ἄλλων ἐστὶν κακόφωνα, ὥσπερ ἄφωνον λέγομεν τὸν τραγωιδὸν τὸν κακόφωνον. Τούτων ψιλὰ μέν ἐστι τρία, κ, π, τ, δασέα τρία, θ, φ, χ, μέσα δὲ τούτων τρία, β, γ, δ. μέσα δὲ εἴρηται, ὅτι τῶν μὲν ψιλῶν ἐστι δασύτερα, τῶν δὲ δασέων ψιλότερα. καὶ ἔστι τὸ μὲν β μέσον τοῦ π καὶ φ, τὸ δὲ γ μέσον τοῦ κ καὶ χ, τὸ δὲ δ μέσον τοῦ θ καὶ τ. ἀντιστοιχεῖ δὲ τὰ δασέα τοῖς ψιλοῖς, τῳ μὲν π τὸ φ, οὕτως·*

*«ἀλλά μοι εἴφ᾽ ὅπῃ ἔσχες ἰὼν εὐεργέα νῆα» (ι 279),*

*τῳ δὲ κ τὸ χ·*

*«αὐτίχ᾽ ὁ μὲν χλαῖνάν τε χιτῶνά τε ἕννυτ᾽ Ὀδυσσεύς»*

*(ε 229),*

*τὸ δὲ θ τῳ τ·*

*«ὣς ἔφαθ᾽· οἱ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ» (Γ 95).*

*Ετι δὲ τῶν συμφώνων διπλᾶ μέν ἐστι τρία· ζ, ξ, ψ. διπλᾶ δὲ εἴρηται, ὅτι ἓν ἕκαστον αὐτῶν ἐκ δύο συμφώνων σύγκειται, τὸ μὲν ζ ἐκ τοῦ σ καὶ δ, τὸ δὲ ξ ἐκ τοῦ κ καὶ σ, τὸ δὲ ψ ἐκ τοῦ π καὶ σ. Ἀμετάβο-*

*reče ker so lahko dolgi ali kratki. Predponskih samoglasnikov je pet: α, ε, η, ο, ω. Predponski se jim reče, ker postavljeni pred ι in υ tvorijo zlog, kakor αι in αυ. Končniška sta dva: ι in υ. Y pa je včasih tudi predponski glede na ι, kakor pri μυῖα (muha) in ἅϱπυια (harpija), υἱός (sin) in podobno. Dvoglasnikov je šest: αι, αυ, ει, ευ, οι, ου.*

*Ostalih sedemnajst je soglasnikov: β, γ, δ, ζ, θ, ϰ, λ, μ, ν, ξ, π, ϱ, σ, τ, ϕ, χ, ψ. Soglasniki se jim pravi, ker sami na sebi nimajo glasu, skupaj s samoglasniki pa tvorijo glas. Izmed teh je osem polglasnikov: ζ, ξ, ψ, λ, μ, ν, ϱ, σ. Polglasniki se jim pravi, ker toliko slabše zvenijo od samoglasnikov in se slišijo kot momljanje in sikanje. Nezvočnikov pa je devet: β, γ, δ, ϰ, π, τ, θ, ϕ, χ. Nezvočniki se imenujejo, ker so od vseh najmanj blagozvočni, tako kakor tragedu, ki nima prijetnega glasu, pravimo da je brez glasu. Teh je, trije prosti: ϰ, π in τ; trije grobi: θ, ϕ in χ; in trije sredinski: β, γ in δ. Sredinski se jim reče, ker so bolj grobi od prostih in bolj gladki od grobih. Tako je β med π in ϕ, γ med ϰ in χ, δ med θ in τ. Prosti in grobi so povezani v pare, in sicer π z ϕ, zato:*

*«ἀλλά μοι εἴϕ᾽ ὅπηι ἔσχες ἰὼν εὐεϱγέα νῆα»*

*(Zdaj pa še to mi povej, kje ladja pristala je tvoja)*

*(Odiseja 9 279),*

*ϰ z χ:*

*«αὐτίχ᾽ ὁ μὲν χλαῖνάν τε χιτῶνά τε ἕννυτ᾽ Ὀδυσσεύς»*

*(Brž Odisej si nadene hiton in vrhnjo odevo) (Odiseja 5 229),*

*τ z θ:*

*«ὣς ἔϕαθ᾽· οἱ δ᾽ ἄϱα πάντες ἀϰὴν ἐγένοντο σιωπῇ»*

*(To je dejal in vsi ostali v globokem so molku) (Iliada 3 95).*

*Poleg tega so še trije dvojni soglasniki: ζ, ξ in ψ. Dvojni se jim pravi, ker je vsak izmed njih sestavljen iz dveh soglasnikov, tako σ in δ tvorita ζ, ϰ in σ tvorita ξ, π in σ pa tvorita ψ. Štirje so nespremenljivi: λ, μ, ν, ϱ.*

*λα τέσσαρα· λ, μ, ν, ρ. ἀμετὰβολα δὲ λέγεται, ὅτι οὐ μεταβάλλει ἐν τοῖς μέλλουσι τῶν ῥημάτων οὐδὲ ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων. τὰ δὲ αὐτὰ καὶ ὑγρὰ καλεῖται. Τελικὰ ἀρσενικῶν ὀνομάτων ἀνεπεκτάτων κατ᾽ εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν στοιχεῖά ἐστι πέντε· ν, ξ, ρ, σ, ψ, οἷον Δίων, Φοῖνιξ, Νέστωρ, Πάρις, Πέλοψ· θηλυκῶν δὲ ὀκτώ· α, η, ω, ν, ξ, ρ, σ, ψ, οἷον Μοῦσα, Ἑλένη, Κλειώ, χελιδών, ἕλιξ, μήτηρ, Θέτις, λαῖλαψ· οὐδετέρων δὲ ἕξ· α, ι, ν, ρ, σ, υ, οἷον ἅρμα, μέλι, δένδρον, ὕδωρ, δέπας, δόρυ. τινὲς δὲ προστιθέασι καὶ τὸ ο, οἷον ἐκεῖνο, τοῦτο, ἄλλο. δυϊκῶν δὲ τρία· α, ε, ω, οἷον Ἀτρείδα, Ἕκτορε, φίλω. πληθυντικῶν δὲ τέσσαρα· ι, σ, α, η, οἷον φίλοι, Ἕκτορες, βιβλία, βέλη.*

## *ζ´*
## *περὶ συλλαβῆς.*

*Συλλαβή ἐστι κυρίως σύλληψις συμφώνων μετὰ φωνήεντος ἢ φωνηέντων, οἷον Καρ, βοῦς· καταχρηστικῶς δὲ καὶ ἡ ἐξ ἑνὸς φωνήεντος, οἷον ἆ, ἤ.*

## *η´*
## *περὶ μακρᾶς συλλαβῆς.*

*Μακρὰ συλλαβὴ γίνεται κατὰ τρόπους ὀκτώ, φύσει μὲν τρεῖς, θέσει δὲ πέντε. καὶ φύσει μὲν (α´) ἤτοι ὅτ᾽ ἂν διὰ τῶν μακρῶν στοιχείων ἐκφέρηται, οἷον ἥρως· (β´) ἢ ὅτ᾽ ἂν ἔχηι ἕν τι τῶν διχρόνων κατ᾽ ἔκτασιν παραλαμβανόμενον, οἷον Ἄρης· (γ´) ἢ ὅτ᾽ ἂν ἔχῃ μίαν τῶν διφθόγγων, οἷον Αἴας. θέσει δὲ (α´) ἤτοι ὅτ᾽ ἂν εἰς δύο σύμφωνα λήγῃ, οἷον ἅλς· (β´) ἢ ὅτ᾽ ἂν βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι ἐπιφέρηται δύο σύμφωνα, οἷον ἀγρός· (γ´) ἢ ὅτ᾽ ἂν εἰς ἁπλοῦν σύμφωνον λήγηι καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ συμφώνου ἀρχομένην, οἷον ἔργον· (δ´) ἢ ὅτ᾽ ἂν διπλοῦν σύμφωνον ἐπιφέρηται, οἷον ἔξω· (ε´) ἢ ὅτ᾽ ἂν διπλοῦν σύμφωνον λήγῃ, οἷον Ἄραψ, ἅπαξ.*

*Nespremenljivi se jim reče, ker se ne spreminjajo v prihodnjiku glagolov in sklanjanju samostalnikov. Imenujejo se tudi likvide. Končnic pri enakozložnih moških samostalnikih je v imenovalniku ednine pet: ν, ξ, ϱ, σ, ψ, kakor Δίων (Dion), Φοῖνιξ (Feničan), Νέστωϱ (Nestor), Πάϱις (Paris), Πέλοψ (Pelops). Pri ženskih osem: α, η, ω, ν, ξ, ϱ, σ, ψ, kakor Μοῦσα (Muza), Ἑλένη (Helena), Κλειώ (Klio), χελιδών (lastovka), ἕλιξ (spirala), μήτηϱ (mati), Θέτις (Tetida), λαῖλαψ (vihar). Pri samostalnikih srednjega spola šest: α, ι, ν, ϱ, σ, υ, kakor ἅϱμα (voz), μέλι (med), δένδϱον (drevo), ὕδωϱ (voda), δέπας (čaša), δόϱυ (les). Nekateri dodajajo še ο, kakor ἐκεῖνο (ono), τοῦτο (to), ἄλλο (drugo). Pri dvojini tri: α, ε, ω, kakor Ἀτϱείδα (Atreida), Ἕκτοϱε (Hektorja), φίλω (prijatelja). Pri množini štiri: ι, σ, α, η, kakor φίλοι (prijatelji), Ἕκτοϱες (Hektorji), βιβλία (knjige), βέλη (strele).*

## *7.*
## *O zlogih.*

*Zlog je pravilen sklop soglasnikov s samoglasnikom ali samoglasniki, kakor Καϱ (Karijec), βοῦς (bik); nepravi je zlog iz enega samega samoglasnika, kakor ἆ, ἧ.*

## *8.*
## *O dolgih zlogih.*

*Dolg zlog nastane na osem načinov, na tri po naravi, in pet po položaju. Po naravi, (1) če vsebuje dolge elemente, kakor ἥϱως (junak); (2) ali če ima enega izmed dvoznačnih samoglasnikov, ki se ga ima za dolgega, kot Ἄϱης (Ares); (3) ali če ima enega izmed dvoglasnikov, kakor Αἴας (Ajas). Po položaju pa, (1) če se konča na dva soglasnika, kakor ἅλς (sol); (2) ali če kratkemu ali skrajšanemu samoglasniku sledita dva soglasnika, kakor ἀγϱός (polje); (3) ali če se konča na enostaven soglasnik in se naslednji zlog začne na soglasnik, kakor ἔϱγον (delo); (4) ali če sledi dvojni samoglasnik, kakor ἔξω (zunaj); (5) ali če se konča na dvojni samoglasnik, kakor Ἄϱαψ (Arabec), ἅπαξ (enkrat).*

## θʹ
## περὶ βραχείας συλλαβῆς.

*Βραχεῖα συλλαβὴ γίνεται κατὰ τρόπους δύο, (αʹ) ἤτοι ὅτʼ ἂν ἔχῃ ἕν τι τῶν φύσει βραχέων, οἷον βρέφος· (βʹ) ἢ ὅτʼ ἂν ἔχῃ ἕν τι τῶν διχρόνων κατὰ συστολὴν παραλαμβανόμενον, οἷον Ἄρης.*

## ιʹ
## περὶ κοινῆς συλλαβῆς.

*Κοινὴ συλλαβὴ γίνεται κατὰ τρόπους τρεῖς· (αʹ) ἤτοι ὅτʼ ἂν εἰς φωνῆεν μακρὸν λήγῃ καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην, οἷον*

*«οὔ τί μοι αἰτίη ἐσσί· θεοί νύ μοι αἴτιοί εἰσιν» (Γ 164)·*

*(βʹ) ἢ ὅτʼ ἂν βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι ἐπιφέρηται δύο σύμφωνα, ὧν τὸ μὲν δεύτερον ἀμετάβολον, τὸ δὲ ἡγούμενον καθʼ ἓν ἄφωνόν ἐστιν, οἷον*

*«Πάτροκλέ μοι δειλῇ πλεῖστον κεχαρισμένε θυμῷ» (Τ 287)·*

*(γʹ) ἢ ὅτʼ ἂν βραχεῖα οὖσα καταπεραιοῖ εἰς μέρος λόγου καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην, οἷον*

*«Νέστορα δʼ οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης» (Ξ 1).*

## ιαʹ
## περὶ λέξεως.

*Λέξις ἐστὶ μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου.*

*Λόγος δέ ἐστι πεζῆς λέξεως σύνθεσις διάνοιαν αὐτοτελῆ δη-*

## *9.*
## *O kratkih zlogih.*

*Kratki zlog nastane na dva načina, (1) če ima enega izmed po naravi kratkih samoglasnikov, kakor βρέφος (zarodek), (2) ali če ima enega izmed dvoznačnih samoglasnikov, ki se ga ima za kratkega, kakor Ἄρης (Ares).*

## *10.*
## *O skupnih zlogih.*

*Skupni zlog nastane na tri načine: (1) če se zlog konča na dolg samoglasnik in se naslednji zlog začne s samoglasnikom, kakor:*

*«οὔ τί μοι αἰτίη ἐσσί· θεοί νύ μοι αἴτιοί εἰσιν»*

*(Nisi mi ti zakrivila, bogovi so krivi gorja mi) (Iliada 3 164);*

*(2) ali če kratkemu ali skrajšanemu soglasniku sledita dva soglasnika, od katerih je drugi nespremenljiv, predhodni pa eden izmed nezvočnikov, kakor:*

*«Πάτροκλέ μοι δειλῇ πλεῖστον κεχαρισμένε θυμῷ»*

*(Patrokles joj mi nesrečni, ti mojemu srcu najdražji) (Iliada 19 287);*

*(3) ali če je dolg zlog na koncu stavčnega člena in se naslednji začne s samoglasnikom, kakor:*

*«Νέστορα δ᾽ οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης»*

*(Nestor sedi pri pijači, vpitje pa vendarle sliši) (Iliada 14 1).*

## *11.*
## *O besedah.*

*Beseda je najkrajši del urejenega stavka.*

*Stavek je prozna zveza besed, iz katere je razviden samostojen pomen.*

*λοῦσα. Τοῦ δὲ λόγου μέρη ἐστὶν ὀκτώ· ὄνομα, ῥῆμα, μετοχή, ἄρθρον, ἀντωνυμία, πρόθεσις, ἐπίρρημα, σύνδεσμος. ἡ γὰρ προσηγορία ὡς εἶδος τῷ ὀνόματι ὑποβέβληται.*

*ἀρχὴ τῶν ὀκτὼ μερῶν τοῦ λόγου.*

## *ιβ´*
## *περὶ ὀνόματος.*

*Ὄνομά ἐστι μέρος λόγου πτωτικόν, σῶμα ἢ πρᾶγμα σημαῖνον, σῶμα μὲν οἷον λίθος, πρᾶγμα δὲ οἷον παιδεία, κοινῶς τε καὶ ἰδίως λεγόμενον, κοινῶς μὲν οἷον ἄνθρωπος ἵππος, ἰδίως δὲ οἷον Σωκράτης, Πλατον. Παρέπεται δὲ τῷ ὀνόματι πέντε· γένη, εἴδη, σχήματα, ἀριθμοί, πτώσεις.*

*Γένη μὲν οὖν εἰσι τρία· ἀρσενικόν, θηλυκόν, οὐδέτερον. ἔνιοι δὲ προστιθέασι τούτοις ἄλλα δύο, κοινόν τε καὶ ἐπίκοινον, κοινὸν μὲν οἷον ἵππος κύων, ἐπίκοινον δὲ οἷον χελιδών ἀετός.*

*Εἴδη δέ δύο, πρωτότυπον καὶ παράγωγον. πρωτότυπον μὲν οὖν ἐστι τὸ κατὰ τὴν πρώτην θέσιν λεχθέν, οἷον γῆ. παράγωνον δὲ τὸ ἀφ᾽ ἑτέρου τὴν γένεσιν ἐσχηκός, οἷον γαιήϊος (η 324). Εἴδη δὲ παραγώνων ἐστὶν ἑπτά· πατρωνυμικόν, κτητικόν, συγκριτικόν, ὑπερθετικόν, ὑποκοριστικόν, παρώνυμον, ῥηματικόν. (α´) Πατρωνυμικὸν μὲν οὖν ἐστι τὸ κυρίως ἀπό πατρὸς ἐσχηματισμένον, καταχρηστικῶς δὲ καὶ τὸ ἀπὸ προγόνων, οἷον Πηλείδης, Αἰακίδης ὁ Ἀχιλλεύς. τύποι δὲ τῶν πατρωνυμικῶν ἀρσενικῶν μὲν τρεῖς, ὁ εἰς δης, ὁ εἰς ων, ὁ εἰς αδιος, οἷον Ἀτρείδης, Ἀτρείων, καὶ ὁ τῶν Αἰολέων ἴδιος τύπος Ὑῤῥάδιος· Ὕῤῥα γὰρ παῖς ὁ Πιττακός. θηλυκῶν δὲ οἱ ἴσοι τρεῖς, ὁ εἰς ις, οἷον Πριαμίς, καὶ ὁ εἰς ας, οἷον Πελιάς, καὶ ὁ εἰς νη, οἷον Ἀδρηστίνη (Ε 412). ἀπὸ δὲ μητέρων οὐ σχηματίζει πατρωνυμικὸν εἶδος ὁ Ὅμηρος, ἀλλ᾽ οἱ νεώτεροι. (β´) Κτητικὸν δέ ἐστι τὸ ὑπὸ τὴν κτῆσιν πεπτωκός, ἐμπεριειλημμένου τοῦ κτήτορος, οἷον Νηλήϊαι ἵπποι (Λ 597), Ἑκτόρεος χιτών (Β 416), Πλατωνικὸν βιβλίον. (γ´) Συγκριτικὸν δέ ἐστι τὸ τὴν σύγκρισις ἔχον ἑνὸς πρὸς ἕνα ὁμοιογενῆ, ὡς Ἀχιλλεὺς ἀνδρειότερος Αἴαντος, ἢ ἑνὸς πρὸς πολλοὺς ἑτερογενεῖς, ὡς Ἀχιλλεὺς ἀνδρειότερος τῶν*

*Stavčnih členov je osem: samostalnik, glagol, deležnik, člen, zaimek, predlog, prislov, veznik. Občno ime je kot vrsta podrejeno samostalniku.*

*Začetek osmih stavčnih členov*

## *12.*
## *O samostalniku.*

*Samostalnik je stavčni člen, ki se sklanja in označuje splošno in posamezno stvar ali dejanje, stvar kot λίθος (kamen), dejanje kot παιδεία (vzgoja), splošno kakor ἄνθρωπος (človek), ἵππος (konj), posamezno kakor Σωκράτης. Samostalnik ima pet pregibov, glede na spol, vrsto, obliko, število, sklon.*

*Spoli so trije: moški, ženski, srednji. Nekateri dodajajo tem še dva, skupni in nedoločni, skupni kot ἵππος (konj), κύων (pes), nedoločni kot χελιδών (lastovka), ἀετός (orel).*

*Vrsti sta dve, osnovni in izpeljani. Osnovni je tisti, ki je bil prvotno določen, kakor γῆ (zemlja). Izpeljan pa izvira iz drugega, kakor Γαιήιος (Zemljin [sin]) (Odiseja 7 324). Izpeljanih samostalnikov je sedem vrst: patronim, svojilnik, primernik, presežnik, pomanjševalnica, samostalniška izpeljanka in glagolska izpeljanka. (1) Pravi patronim se tvori po očetu, nepravi pa po predniku, kakor je Ἀχιλλεύς (Ahileus) Πηλείδης (Peleides) in Αἰακίδης (Aikides). Oblike moškega patronimika so tri, na -δης, -ων in -αδιος, kakor Ἀτρείδης, Ἀτρείων in kot posebna eolska oblika Ὑρράδιος; Pittakos je bil namreč sin Hyrrasa. Ženske oblike so tudi tri, na ις, kakor Πριαμίς, na ας, kakor Πελιάς in na νη, kakor Ἀδρηστίνη (Iliada 5 412). Homer ne tvori patronimov po materah, ampak šele kasnejši avtorji. (2) Svojilni samostalnik označuje lastnino in vsebuje lastnika, kot Νηλήϊοι ἵπποι (Nelejevi konji) (Λ 597), Ἑκτόρεος χιτών (Hektorjev plašč) (Β 416), Πλατωνικὸν βιβλίον (Platonova knjiga). (3) Primernik primerja sorodne stvari eno z drugo, kot Ἀχιλλεὺς ἀνδρειότερος Αἴαντος(Ahilej je pogumnejši od Ajasa), ali eno stvar z več drugorodnimi, kakor Ἀχιλλεὺς ἀνδρειότερος τῶν Τρώων (Ahilej je pogumnejši od Trojancev). Primernik ima tri oblike: na -τερος, ka-*

*Τρώων. τῶν δὲ συγκριτικῶν τύποι εἰσὶ τρεῖς, ὁ εἰς τερος, οἷον ὀξύτερος βραδύτερος, καὶ ὁ εἰς ων καθαρόν, οἷον βελτίων καλλίων, καὶ ὁ εἰς ων, οἷον κρείσσων ἥσσων. (δ΄) Ὑπερθετικὸν δέ ἐστι τὸ κατ᾽ ἐπίτασιν ἑνὸς πρὸς πολλοὺς παραλαμβανόμενον ἐν συγκρίσει. τύποι δὲ αὐτοῦ εἰσι δύο, ὁ εἰς τατος, οἷον ὀξύτατος βραδύτατος, καὶ ὁ εἰς τος, οἷον ἄριστος μέγιστος. (ε΄) Ὑποκοριστικὸν δέ ἐστι τὸ μείωσιν τοῦ πρωτοτύπου ἀσυγκρίτως δηλοῦν, οἷον ἀνθρωπίσκος, λίθαξ, μειρακύλλιον. (ς΄) Παρώνυμον δέ ἐστι τὸ παρ᾽ ὄνομα ποιηθέν, οἷον Θέων, Τρύφων. (ζ΄) Ῥηματικὸν δέ ἐστι τὸ ἀπὸ ῥήματος παρηγμένον, οἷον Φιλήμων, Νοήμων.*

*Σχήματα δὲ ὀνομάτων ἐστὶ τρία· ἁπλοῦν, σύνθετον, παρασύνθετον· ἁπλοῦν μὲν οἷον Μέμνων, σύνθετον δὲ οἷον Ἀγαμέμνων, παρασύνθετον δὲ οἷον Ἀγαμεμνονίδης, Φιλιππίδης. Τῶν δὲ συνθέτων διαφοραί εἰσι τέσσαρες. ἃ μὲν γὰρ αὐτῶν εἰσιν ἐκ δύο τελείων, ὡς Χειρίσοφος, ἃ δὲ ἐκ δύο ἀπολειπόντων, ὡς Σοφοκλῆς, ἃ δὲ ἐξ ἀπολείποντος καὶ τελείου, ὡς Φιλόδημος, ἃ δὲ ἐκ τελείου καὶ ἀπολείποντος, ὡς Περικλῆς.*

*Ἀριθμοὶ τρεῖς· ἑνικός, δυϊκός καὶ πληθυντικός· ἑνικὸς μὲν οἷον ὁ Ὅμηρος, δυϊκὸς δὲ οἷον τὼ Ὁμήρω, πληθυντικὸς δὲ οἷον οἱ Ὅμηροι. εἰσὶ δέ τινες ἑνικοὶ χαρακτῆρες καὶ κατὰ πολλῶν λεγόμενοι, οἷον δῆμος, χορός, ὄχλος· καὶ πληθυντικοὶ κατὰ ἑνικῶν τε καὶ δυϊκῶν, ἑνικῶν μὲν ὡς Ἀθῆναι, Θῆβαι, δυϊκῶν δὲ ὡς ἀμφότεροι.*

*Πτώσεις ὀνομάτων εἰσὶ πέντε· ὀρθή, γενική, δοτική, αἰτιατική, κλητική. Λέγεται δὲ ἡ μὲν ὀρθὴ ὀνομαστικὴ καὶ εὐθεῖα, ἡ δὲ γενικὴ κτητική τε καὶ πατρική, ἡ δὲ δοτικὴ ἐπισταλτική, ἡ δὲ αἰτιατικὴ κατ᾽ αἰτίαν, ἡ δὲ κλητικὴ προσαγορευτική. Ὑποπέπτωκε δὲ τῷ ὀνόματι ταῦτα, ἃ καὶ αὐτὰ εἴδη προσαγορεύεται· κύριον, προσηγορικόν, ἐπίθετον, πρός τι ἔχον, ὡς πρός τι ἔχον, ὁμώνυμον, συνώνυμον, φερώνυμον, διώνυμον, ἐπώνυμον, ἐθνικόν, ἐρωτηματικόν, ἀόριστον, ἀναφορικὸν ὃ καὶ ὁμοιωματικὸν καὶ δεικτικὸν καὶ ἀνταποδοτικὸν καλεῖται, περιληπτικόν, ἐπιμεριζόμενον, περιεκτικόν, πεποιημένον, γενικόν, εἰδικόν, τακτικόν, ἀριθμητικόν, μετουσιαστικόν, ἀπολελυμένον.*

*kor ὀξύτερος (ostrejši), βραδύτερος (počasnejši), na čisti -ων, kakor βελτίων (boljši), καλλίων (lepši) in na ων, kakor κρείσσων (močnejši), ἥσσων (slabši). (4) Presežnik izraža večvrednost enega v primerjavi z mnogimi. Njegovi obliki sta dve, na -τατος, kakor ὀξύτατος (najostrejši), βραδύτατος (najpočasnejši) in na -τος, kakor ἄριστος (najboljši), μέγιστος (največji). (5) Pomanjševalnica označuje manjše od osnovnega samostalnika brez očitne primerjave, kakor ἀνθρωπίσκος (človeček), λίθαξ (kamenček), μειρακύλλιον (fantič). (6) Samostalniška izpeljanka je narejena iz samostalnika, kakor Θέων (Teon), Τρύφων (Trifon). (7) Glagolska izpeljanka je samostalnik izveden iz glagola, kakor Φιλήμων (Filemon), Νοήμων (Noemon).*

*Samostalniki imajo tri oblike: enostavno, sestavljeno in sestavljeno iz sestavljenk: enostavna kot Μέμνων (Memnon), sestavljena kot Ἀγαμέμνων (Agamemnon), sestavljena iz sestavljenk kot Ἀγαμεμνονίδης (Agamemnonides), Φιλιππίδης (Filipides). Obstajajo štiri različice sestavljenih samostalnikov. Nekateri izmed njih so sestavljeni iz dveh popolnih besed, kakor Χειρίσοφος (Heirisofos), drugi iz dveh nepopolnih, kakor Σοφοκλῆς (Sofokles), tretji iz nepopolne in popolne besede, kakor Φιλόδημος (Filodemos), četrti pa iz popolne in nepopolne besede, kakor Περικλῆς (Perikles).*

*Števila so tri: ednina, dvojina in množina: ednina je ὁ Ὅμηρος, dvojina τὼ Ὁμήρω, množina οἱ Ὅμηροι. - Nekatere edninske oblike označujejo tudi množino, kot δῆμος (ljudstvo), χορός (zbor), ὄχλος (množica) in množinske ednino in dvojino, ednino na primer Ἀθῆναι, Θῆβαι, dvojino pa ἀμφότεροι (oba).*

*Samostalnik ima pet sklonov: neodvisni sklon, rodilnik, dajalnik, tožilnik, zvalnik. Neodvisnemu se reče tudi imenovalnik in ravni sklon, rodilniku svojilnik in dedni sklon, dajalniku ukazovalnik, tožilniku se reče tako zaradi krivde ali tožbe, zvalniku nagovornik. Oblike samostalnikov, ki se jim tudi reče vrste so: lastno ime, občno ime, pridevnik, odnosnik, nepravi odnosnik, enakozvočnica, soznačnica, poimenovanje, dvojno ime, vzdevek, narodno ime, vprašalnica, nedoločnik, zglednik, ki se mu reče tudi podobnik, kazalnik in soodnosnik, skupno ime, razčlenitveno ime, vsebnik, onomatopeja, splošno ime, posebno ime, vrstilnik, števnik, snovni pridevnik, neodvisni samostalnik.*

*(α΄) Κύριον μὲν οὖν ἐστι τὸ τὴν ἰδίαν οὐσίαν σημαῖνον, οἷον Ὅμηρος, Σωκράτης. (β΄) Προσηγορικὸν δέ ἐστι τὸ τὴν κοινὴν οὐσίαν σημαῖνον, οἷον ἄνθρωπος, ἵππος. (γ΄) Ἐπίθετον δέ ἐστι τὸ ἐπὶ κυρίων ἢ προσηγορικῶν ὁμωνύμως τιθέμενον καὶ δηλοῦν ἔπαινον ἢ ψόγον. λαμβάνεται δὲ τριχῶς, ἀπὸ ψυχῆς, ἀπὸ σώματος, ἀπὸ τῶν ἐκτός· ἀπὸ μὲν ψυχῆς ὡς σώφρων, ἀκόλαστος, ἀπό δὲ σώματος ὡς ταχύς, βραδύς, ἀπὸ δὲ τῶν ἐκτὸς ὡς πλούσιος, πένης. (δ΄) Πρός τι ἔχον δέ ἐστιν ὡς πατήρ υἱός φίλος δεξιός. (ε΄) Ὡς πρός τι ἔχον δέ ἐστιν ὡς νύξ, ἡμέρα, θάνατος, ζωή. (ϛ΄) Ὁμώνυμον δέ ἐστιν ὄνομα τὸ κατὰ πολλῶν ὁμωνύμως τιθέμενον, οἷον ἐπὶ μὲν κυρίων, ὡς Αἴας ὁ Τελαμώνιος καὶ Αἴας ὁ Ὀϊλέως, ἐπὶ δὲ προσηγορικῶν, ὡς μῦς θαλάσσιος καὶ μῦς γηγενής. (ζ΄) Συνώνυμον δέ ἐστι τὸ ἐν διαφόροις ὀνόμασι τὸ αὐτὸ δηλοῦν, οἷον ἄορ, ξίφος, μάχαιρα, σπάθη, φάσγανον. (η΄) Φερώνυμον δέ ἐστι τὸ ἀπό τινος συμβεβηκότος τεθέν, ὡς Τισαμενός καὶ Μεγαπένθης. (θ΄) Διώνυμον δέ ἐστιν ὀνόματα δύο καθ᾽ ἑνὸς κυρίου τεταγμένα, οἷον Ἀλέξανδρος ὁ καὶ Πάρις, οὐκ ἀναστρέφοντος τοῦ λόγου· οὐ γάρ, εἴ τις Ἀλέξανδρος, οὗτος καὶ Πάρις. (ι΄) Ἐπώνυμον δέ ἐστιν, ὃ καὶ διώνυμον καλεῖται, τὸ μεθ᾽ ἑτέρου κυρίου καθ᾽ ἑνὸς λεγόμενον, ὡς Ἐνοσίχθων ὁ Ποσειδῶν καὶ Φοῖβος ὁ Ἀπόλλων. (ια΄) Ἐθνικὸν δέ ἐστι τὸ ἔθνους δηλωτικόν, ὡς Φρύξ, Γαλάτης. (ιβ΄) Ἐρωτηματικὸν δέ ἐστιν, ὃ καὶ πευστικὸν καλεῖται, τὸ κατ᾽ ἐρώτησιν λεγόμενον, οἷον τίς, ποῖος, πόσος, πηλίκος. (ιγ΄) Ἀόριστον δέ ἐστι τὸ τῷ ἐρωτηματικῷ ἐναντίως λεγόμενον, οἷον ὅστις, ὁποῖος, ὁπόσος, ὁπηλίκος. (ιδ΄) Ἀναφορικὸν δέ ἐστιν, ὃ καὶ ὁμοιωματικὸν καὶ δεικτικὸν καὶ ἀνταποδοτικὸν καλεῖται, τὸ ὁμοίωσιν σημαῖνον, οἷον τοιοῦτος, τοσοῦτος, τηλικοῦτος. (ιε΄) Περιληπτικὸν δέ ἐστι τὸ τῶι ἑνικῶι ἀριθμῶι πλῆθος σημαῖνον, οἷον δῆμος, χορός, ὄχλος. (ιϛ΄) Ἐπιμεριζόμενον δέ ἐστι τὸ ἐκ δύο ἢ καὶ πλειόνων ἐπὶ ἓν ἔχον τὴν ἀναφοράν, οἷον ἕτερος, ἑκάτερος, ἕκαστος. (ιζ΄) Περιεκτικὸν δέ ἐστι τὸ ἐμφαῖνον ἐν ἑαυτῷ τι περιεχόμενον, οἷον δαφνών, παρθενών. (ιη΄) Πεποιημένον δέ ἐστι τὸ παρὰ τὰς τῶν ἤχων ἰδιότητας μιμητικῶς εἰρημένον, οἷον φλοῖσβος, ῥοῖζος, ὀρυμαγδός. (ιθ΄) Γενικὸν δέ ἐστὶ τὸ δυνάμενον εἰς πολλὰ εἴδη διαιρεθῆναι, οἷον ζῷον, φυτόν. (κ΄) Εἰδικὸν δέ ἐστι τὸ ἐκ τοῦ γένους διαιρεθέν, οἷον βοῦς, ἵππος, ἄμπελος, ἐλαία. (κα΄) Τακτικὸν δέ ἐστι τὸ τάξιν δηλοῦν, οἷον πρῶτος, δεύτερος, τρίτος. (κβ΄) Ἀριθ-*

*(1) Lastno ime označuje posamezno bitje, kakor Ὅμηρος (Homer), Σωκράτης (Sokrat). (2) Občno ime označuje sorodna bitja, kakor ἄνθρωπος (človek), ἵππος (konj). (3) Pridevnik se enako dodaja lastnim ali občnim imenom in izraža hvalo ali grajo. Izhaja iz trojnega, iz duše, telesa ali od zunaj: iz duše kot σώφρων (razumen), ἀκόλαστος (predrzen); iz telesa kot ταχύς (hiter), βραδύς (počasen); od zunaj kot πλούσιος (bogat), πένης (reven). (4) Odnosniki so naprimer πατήρ (oče), υἱός (sin), φίλος (prijatelj), δεξιός (desen). (5) Nepravi odnosniki so naprimer νύξ (noč), ἡμέρα (dan), θάνατος (smrt), ζωή (življenje). (6) Enakozvočnica je samostalnik, ki mnogoznačno označuje različne stvari tako pri lastnih imenih, kot Αἴας ὁ Τελαμώνιος (Telamonov Ajas) in Αἴας ὁ Ὀϊλέως (Oilejev Ajas), kakor pri občnih imenih, kot μῦς θαλάσσιος (morska miš) in μῦς γηγενής ([kopenska] miš). (7) Soznačnice z različnimi samostalniki označujejo isto; kakor ἄορ (meč), ξίφος (meč), μάχαιρα (meč), σπάθη (meč), φάσγανον (meč). (8) Poimenovanje je postavljeno po nečem, kar se je zgodilo, kakor Τισαμενός ("maščevalec") in Μεγαπένθης (imenovan po veliki žalosti). (9) Dvojno ime sta dva samostalnika, ki označujeta eno lastno ime kakor Ἀλέξανδρος in Πάρις, brez medsebojne povezave: ni nujno, če je nek Ἀλέξανδρος, da je potem tudi Πάρις. (10) Vzdevek, ki se mu reče tudi dvojno ime, je samostalnik, ki skupaj z dugim lastnim imenom označuje eno in isto, kakor je Ἐνοσίχθων (Zemljotresec) Ποσειδῶν (Pozejdon) in Φοῖβος (Sijajni) Ἀπόλλων (Apolon). (11) Narodno ime označuje pripadnost narodu, kot Φρύξ (Frigijec), Γαλάτης (Galec). (12) Vprašalnica, ki se ji reče tudi poizvedovalnik se uporablja pri vprašanjih, kakor τίς (kdo), ποῖος (kakšen), πόσος (kolikšen), πηλίκος (koliko star). (13) Nedoločnik odgovarja na vprašalnico, kakor ὅστις (kdorkoli), ὁποῖος (kakršenkoli), ὁπόσος (kolikeršen), ὁπηλίκος (kakorkoli star). (14) Zglednik, ki se mu reče tudi podobnik, kazalnik in soodnosnik, označuje enakost, kakor v τοιοῦτος (takšen), τοσοῦτος (tolikšen), τηλικοῦτος (toliko star). (15) Skupno ime označuje mnoštvo v ednini, kakor δῆμος (ljudstvo), χορός (zbor), ὄχλος (množica). (16) Razčlenitveno ime označuje odnos enega med dvema ali mnogimi, kakor ἕτερος (drugi), ἑκάτερος (oba), ἕκαστος (vsak). (17) Vsebnik kaže, kaj vsebuje v sebi, kakor δαφνών (lovorov gaj), παρθενών (prebivališče device). (18) Onomatopeja se oblikuje s posnemanjem lastnosti zvoka, kakor φλοῖσβος (šum), ῥοῖζος (pisk),*

μητικὸν δέ ἐστι τὸ ἀριθμὸν σημαῖνον, οἷον εἷς, δύο, τρεῖς. (κγ´) Μετουσιαστικὸν δέ ἐστι τὸ μετέχον οὐσίας τινός, οἷον πύρινος, δρύϊνος, ἐλάφινος, χρύσειος, αργύρειος. (κδ´) ἀπολελυμένον δέ ἐστιν ὃ καθ᾽ ἑαυτὸ νοεῖται, οἷον θεός, λόγος.

Τοῦ δὲ ὀνόματος διαθέσεις εἰσὶ δύο, ἐνέργεια καὶ πάθος· ἐνέργεια μὲν ὡς κριτής ὁ κρίνων, πάθος δὲ ὡς κριτός ὁ κρινόμενος.

## ιγ´
## περὶ ῥήματος.

Ῥῆμά ἐστι λέξις ἄπτωτος, ἐπιδεκτικὴ χρόνων τε καὶ προσώπων καὶ ἀριθμῶν, ἐνέργειαν ἢ πάθος παριστᾶσα. Παρέπεται δὲ τῷ ῥήματι ὀκτώ, ἐγκλίσεις, διαθέσεις, εἴδη, σχήματα, ἀριθμοί, πρόσωπα, χρόνοι, συζυγίαι. καὶ ἐγκλίσεις μὲν οὖν εἰσι πέντε, ὁριστική, προστακτική, εὐκτική, ὑποτακτική, ἀπαρέμφατος. διαθέσεις δὲ εἰσὶ τρεῖς, ἐνέργεια, πάθος, μεσότης· ἐνέργεια μὲν οἷον τύπτω, πάθος δὲ οἷον τύπτομαι, μεσότης δὲ ἡ ποτὲ μὲν ἐνέργειαν ποτὲ δὲ πάθος παριστᾶσα, οἷον πέποιθα, διέφθορα, ἐποιησάμην, ἐγραψάμην. εἴδη δὲ δύο, πρωτότυπον καὶ παράγωγον· πρωτότυπον μὲν οἷον ἄρδω, παράγωγον δὲ οἷον ἀρδεύω. σχήματα δὲ τρία, ἁπλοῦν, σύνθετον, παρασύνθετον· ἁπλοῦν μὲν οἷον φρονῶ, σύνθετον δὲ οἷον καταφρονῶ, παρασύνθετον δὲ οἷον ἀντιγονίζω φιλιππίζω. ἀριθμοὶ δὲ τρεῖς, ἑνικός, δυϊκός, πληθυντικός· ἑνικὸς μὲν οἷον τύπτω, δυϊκὸς δὲ οἷον τύπτετον, πληθυντικὸς δὲ οἷον τύπτομεν. πρόσωπα τρία, πρῶτον, δεύτερον, τρίτον· πρῶτον μὲν ἀφ᾽ οὗ ὁ λόγος, δεύτερον δὲ πρὸς ὃν ὁ λόγος, τρίτον δὲ περὶ οὗ ὁ λόγος. χρόνοι δὲ τρεῖς, ἐνεστώς, παρεληλυθώς, μέλλων. τούτων ὁ παρεληλυθὼς ἔχει διαφορὰς τέσσαρας, παρατατικόν, παρακείμενον, ὑπερσυντέλικον, ἀόριστον· ὧν συγγένεια τρεῖς, ἐνεστῶτος πρὸς παρατατικόν, παρακειμένου πρὸς ὑπερσυντέλικον, ἀορίστου πρὸς μέλλοντα.

*ὀρυμαγδός (ropot). (19) Splošno ime se lahko deli v več vrst, kakor ζῶον (žival), φυτόν (rastlina). (20) Posebno ime označuje tisto, na kar se deli rod, kakor βοῦς (bik), ἵππος (konj), ἄμπελος (trta), ἐλαία (oljka). (21) Vrstilnik označuje red, kakor πρῶτος (prvi), δεύτερος (drugi), τρίτος (tretji). (22) Števnik označuje število, kakor εἷς (en), δύο (dva), τρεῖς (tri). (23) Snovni pridevnik pove kakšno snov vsebuje nekaj, kakor πύρινος (pšeničen), δρύϊνος (hrastov), χρύσειος (zlat), αργύρειος (srebrn). (24) Neodvisni samostalnik je tisti, ki označuje zamišljeno samo na sebi, kakor θεός (bog), λόγος (razum).*

*Stanji samostalnika sta dve, tvorna in trpna, tvorna kot κριτής (sodnik) ὁ κρίνων(sodeč), trpna kot κριτός (izbran) ὁ κρινόμενος (sojen).*

## *13.*
## *O glagolu.*

*Glagol je nesklonljiva beseda, lahko izraža čas, osebo in število ter navaja na tvornost ali trpnost. Glagol ima osem pregibov, glede na naklon, način, vrsto, obliko, število, osebo, čas, spregatev. Naklonov je pet: povednik, velelnik, želelnik, vezni naklon, nedoločnik. Načini so trije tvorni, trpni, srednji: tvorni kakor τύπτω (tepem), trpni kakor τύπτομαι (tepen sem), srednji delno izraža tvornost delno trpnost kakor πέποιθα (zaupam), διέφθορα (zgubil sem razum), ἐποιησάμην (naredil sem sam sebi), ἐγραψάμην (zapisal sem si). Vrsti sta dve, osnovni in izpeljani: osnovni kakor ἄρδω (dam piti), izpeljani kakor ἀρδεύω (namakam). Oblike so tri: enostavna, sestavljena in sestavljena iz sestavljenk: enostavna kot φρονῶ (mislim), sestavljena kot καταφρονῶ (preziram), sestavljena iz sestavljenk kot ἀντιγονίζω (sem pristaš Antigona), φιλιππίζω (sem pristaš Filipa). Števila so tri: ednina, dvojina in množina: ednina kot τύπτω (tepem), dvojina kot τύπτετον (tepeva), množina kot τύπτομεν (tepemo). Osebe so tri, prva, druga tretja: prva je tista, ki govori, druga tista, ki se ji govori, tretja, o kateri je govor. Časi so trije, sedanji, pretekli, prihodnji. Med temi ima pretekli štiri različice, nedovršni pretekli čas (imperfekt), dovršni pretekli čas (perfekt), predpretekli čas (pluskvamperfekt), nedoločni čas (aorist), ki se povezujejo v tri skupine, sedanji z nedovršnim, nedovršni s predpreteklim, nedoločni s prihodnjim.*

## ιδ´
## περὶ συζυγίας.

Συζυγία ἐστὶν ἀκόλουθος ῥημάτων κλίσις. Εἰσὶ δὲ συζυγίαι βαρυτόνων μὲν ῥημάτων ἕξ, ὧν (α´) ἡ μὲν πρώτη ἐκφέρεται διὰ τοῦ β ἢ φ ἢ π ἢ πτ, οἷον λείβω, γράφω, τέρπω, κόπτω· (β´) ἡ δὲ δευτέρα διὰ τοῦ γ ἢ κ ἢ χ ἢ κτ, οἷον λέγω, πλέκω, τρέχω, τίκτω (γ´) ἡ δὲ τρίτη διὰ τοῦ δ ἢ θ ἢ τ, οἷον ᾄδω πλήθο ἀνύτω· (δ´) ἡ δὲ τετάρτη διὰ τοῦ ζ ἢ τῶν δύο σσ, οἷον φράζω, νύσσω, ὀρύσσω· (ε´) ἡ δὲ πέμπτη διὰ τῶν τεσσάρων ἀμεταβόλων, λ, μ, ν, ρ, οἷον πάλλω, νέμω, κρίνω, σπείρω· (ς´) ἡ δὲ ἕκτη διὰ καθαροῦ τοῦ ω, οἷον ἱππεύω, πλέω, βασιλεύω, ἀκούω. Τινὲς δὲ καὶ ἑβδόμην συζυγίαν εἰσάγουσιν διὰ τοῦ ξ καὶ ψ, οἷον ἀλέξω καὶ ἕψω.

Περισπωμένων δὲ ῥημάτων συζυγίαι εἰσὶ τρεῖς, ὧν (α´) ἡ μὲν πρώτη ἐκφέρεται ἐπὶ δευτέρου καὶ τρίτου προσώπου διὰ τῆς ει διφθόγγου, οἷον νοῶ νοεῖς νοεῖ· (β´) ἡ δὲ δευτέρα διὰ τῆς αι διφθόγγου, προσγραφομένου τοῦ ι, μὴ συνεκφωνουμένου δέ, οἷον βοῶ βοᾷς βοᾷ· (γ´) ἡ δὲ τρίτη διὰ τῆς οι διφθόγγου, οἷον χρυσῶ χρυσοῖς χρυσοῖ. -

Τῶν δὲ εἰς μι ληγόντων ῥημάτων συζυγίαι εἰσὶ τέσσαρες, ὧν (α´) ἡ μὲν πρώτη ἐκφέρεται ἀπὸ τῆς πρώτης τῶν περισπωμένων, ὡς ἀπὸ τοῦ τιθῶ γέγονε τίθημι· (β´) ἡ δὲ δευτέρα ἀπὸ τῆς δευτέρας, ὡς ἀπὸ τοῦ ἱστῶ γέγονεν ἵστημι· (γ´) ἡ δὲ τρίτη ἀπὸ τῆς τρίτης, ὡς ἀπὸ τοῦ διδῶ γέγονε δίδωμι· (δ´) ἡ δὲ τετάρτη ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων, ὡς ἀπὸ τοῦ πηγνύω γέγονε πήγνυμι.

## ιε´
## περὶ μετοχῆς.

Μετοχή ἐστι λέξις μετέχουσα τῆς τῶν ῥημάτων καὶ τῆς τῶν ὀνομάτων ἰδιότητος. παρέπεται δὲ αὐτῇ ταὐτὰ ἃ καί τῷ ὀνόματι καὶ τῷ ῥήματι δίχα προσώπων τε καὶ ἐγκλίσεων.

## *14.*
## *O spregatvi.*

*Spregatev je nalično pregibanje glagolov. Spregatev baritonskih glagolov je šest, od katerih (1) prvo opredeljujejo β ali φ ali π ali πτ, kakor λείβω (zlijem), γράφω (pišem), τέρπω (veselim), κόπτω (udarim); (2) drugo γ ali κ ali χali κτ,kakor λέγω (govorim), πλέκω (pletem), τρέχω (tečem), τίκτω (rodim); (3) tretjo δ ali θ ali τ, kakor ᾄδω (pojem), πλήθο (poln sem), ἀνύτω (končam); (4) četrto ζ ali dva σσ, kakor φράζω (povem), νύσσω (piknem), ὀρύσσω (kopljem); (5) peto štirje nespremenljivi soglasniki, λ, μ, ν, ρ, kakor πάλλω (maham), νέμω (delim), κρίνω (sodim), σπείρω (sejem); (6) šesto čisti ω, kakor ἱππεύω (jaham), πλέω (plujem), βασιλεύω (kraljujem), ἀκούω (poslušam). Nekateri uvajajo še sedmo spregatev na ξ in ψ, kakor ἀλέξω (branim) in ἕψω (vrem).*

*Spregatve perispomenskih glagolov so tri, od teh (1) prvo opredeljuje dvoglasnik ει v drugi in tretji osebi, kakor νοῶ (mislim), νοεῖς (misliš), νοεῖ (misli); (2) drugo dvoglasnik ᾳ, pri katerem se ι piše, vendar se ne izgovarja, kakor βοῶ (vpijem), βοᾷς (vpiješ), βοᾷ (vpije); (3)tretjo dvoglasnik οι, kakor χρυσῶ (zlatim), χρυσοῖς (zlatiš), χρυσοῖ (zlati). -*

*Spregatve glagolov, ki se končujejo na μι so štiri, od katerih je (1) prva določena po prvi perispomenski, kakor se iz τιθῶ (postavim) tvori τίθημι (postavim); (2) druga po drugi, kakor se iz ἱστῶ (postavim) tvori ἵστημι (postavim); (γ΄) tretja po tretji, kakor se iz διδῶ (dajem) tvori δίδωμι (dajem); (δ΄) četrta po šesti baritonski, kakor se iz πηγνύω (utrdim) tvori πήγνυμι (utrdim).*

## *15.*
## *O deležniku.*

*Deležnik je beseda, ki ima značilnosti glagolov in samostalnikov. Njegovi pregibi so takšni kot pri samostalniku in glagolu razen osebe in naklona.*

## ιϛ´
## *περὶ ἄρθρου.*

*Ἄρθρον ἐστὶ μέρος λόγου πτωτικόν, προτασσόμενον καὶ ὑποτασσόμενον τῆς κλίσεως τῶν ὀνομάτων. καὶ ἔστι προτακτικὸν μὲν ὁ, ὑποτακτικὸν δὲ ὅς. Παρέπεται δὲ αὐτῷ τρία· γένη, ἀριθμοί, πτώσεις. γένη μὲν οὖν εἰσι τρία· ὁ ποιητής, ἡ ποίησις, τὸ ποίημα. ἀριθμοὶ δὲ τρεῖς· ἑνικός, δυϊκός, πληθυντικός· ἑνικὸς μὲν ὁ ἡ τό, δυϊκὸς δὲ τώ τά, πληθυντικὸς δὲ οἱ αἱ τά. πτώσεις δὲ ὁ τοῦ τῷ τόν ὦ, ἡ τῆς τῇ τήν ὦ, τό τοῦ τῷ τό ὦ.*

## ιζ´
## *περὶ ἀντωνυμίας.*

*Ἀντωνυμία ἐστὶ λέξις ἀντὶ ὀνόματος παραλαμβανομένη, προσώπων ὡρισμένων δηλωτική. Παρέπεται δὲ τῇ ἀντωνυμίαι ἕξ· πρόσωπα, γένη, ἀριθμοί, πτώσεις, σχήματα, εἴδη.*

*Πρόσωπα πρωτοτύπων μὲν ἐγώ σύ ἵ, παραγώγων δὲ ἐμός σός ὅς. Γένη τῶν μὲν πρωτοτύπων διὰ μὲν τῆς φωνῆς οὐ διακρίνεται, διὰ δὲ τῆς ὑπ᾽ αὐτῶν δείξεως, οἷον ἐγώ· τῶν δὲ παραγώγων, οἷον ὁ ἐμός ἡ ἐμή τὸ ἐμόν. Ἀριθμοὶ πρωτοτύπων μὲν ἑνικὸς ἐγώ, σύ, ἵ, δυϊκὸς νῶϊ, σφῶϊ, πληθυντικὸς ἡμεῖς, ὑμεῖς, σφεῖς· παραγώγων δὲ ἑνικὸς ἐμός, σός, ὅς, δυϊκὸς ἐμώ σώ ὥ, πληθυντικὸς ἐμοί, σοί, οἵ. Πτώσεις πρωτοτύπων μὲν ὀρθῆς ἐγώ σύ ἵ, γενικῆς ἐμοῦ σοῦ οὗ, δοτικῆς ἐμοί σοί οἷ, αἰτιατικῆς ἐμέ σέ ἕ, κλητικῆς σύ· παραγώγων δὲ ἐμός σός ὅς, γενικῆς ἐμοῦ σοῦ οὗ, δοτικῆς ἐμῷ σῷ ᾧ, αἰτιατικῆς ἐμόν σόν ὅν. Σχήματα δὲ δύο, ἁπλοῦν, σύνθετον· ἁπλοῦν μὲν οἷον ἐμοῦ σοῦ οὗ, σύνθετον δὲ ἐμαυτοῦ σαυτοῦ αὑτοῦ. Εἴδη δέ δύο, ὅτι αἱ μέν εἰσι πρωτότυποι, ὡς ἐγώ σύ ἵ, αἱ δὲ παράγωγοι, ὡς πᾶσαι αἱ κτητικαί, αἳ καὶ διπρόσωποι καλοῦνται. παράγονται δὲ οὕτως· ἀπὸ μὲν ἑνικῶν αἱ ἕνα κτήτορα δηλοῦσαι, ὡς ἀπὸ τοῦ ἐμοῦ ὁ ἐμός· ἀπὸ δὲ δυϊκῶν αἱ δύο, ὡς ἀπὸ τοῦ νῶϊ νωΐτερος· ἀπὸ δὲ πληθυντικῶν αἱ πολλούς, ὡς ἀπὸ τοῦ ἡμεῖς ἡμέτερος. Τῶν δὲ ἀντωνυμιῶν αἱ μὲν εἰσιν ἀσύναρθροι, αἱ δὲ σύναρθροι· ἀσύναρθροι μὲν οἷον ἐγώ, σύναρθροι δὲ οἷον ὁ ἐμός.*

## *16.*
## *O členu.*

*Člen je stavčni člen, ki se sklanja in se postavlja pred ali za pregibe samostalnikov. Predponski je ὁ, priponski pa ὅς. Ima tri pregibe: spol, število, sklon. Spoli so trije: ὁ ποιητής (pesnik), ἡ ποίησις (pesništvo), τὸ ποίημα (pesem). Števila so tri: ednina dvojina, množina; ednina: ὁ ἡ τό, dvojina: τώ τά, množina: οἱ αἱ τά. Skloni so ὁ τοῦ τῷ τόν ὦ, ἡ τῆς τῇ τήν ὦ, τό τοῦ τῷ τό ὦ.*

## *17.*
## *O zaimku.*

*Zaimek je beseda, ki se uporablja namesto samostalnika in označuje določeno osebo. Zaimek ima šest pregibov: osebo spol, število, sklon, obliko, vrsto.*

*Osebe osnovnih zaimkov so ἐγώ σύ ἵ, izpeljanih ἐμός σός ὅς. Spol osnovnih se v govoru ne razlikuje, ampak je razviden iz tistega na kar kaže, kakor ἐγώ; pri izpeljanih pa se, kakor ὁ ἐμός ἡ ἐμή τὸ ἐμόν. Števila osnovnih so ednina, ἐγώ, σύ, ἵ, dvojina νῶϊ, σφῶϊ, množina ἡμεῖς, ὑμεῖς, σφεῖς; pri izpeljanih pa ednina ἐμός, σός, ὅς, dvojina ἐμώ σώ ὥ, množina ἐμοί, σοί, οἵ. Skloni osnovnih so imenovalnik ἐγώ σύ ἵ, rodilnik ἐμοῦ σοῦ οὗ, dajalnik ἐμοί σοί οἷ, tožilnik ἐμέ σέ ἕ, zvalnik σύ; izpeljanih pa ἐμός σός ὅς, rodilnik ἐμοῦ σοῦ οὗ,dajalnik ἐμῷ σῷ ᾧ, tožilnik ἐμόν σόν ὅν. Obliki sta dve, enostavni in sestavljeni; enostavni kakor ἐμοῦ σοῦ οὗ, sestavljeni pa ἐμαυτοῦ σαυτοῦ αὑτοῦ. Vrsti sta dve, ali so osnovni, kakor ἐγώ σύ ἵ, ali pa izpeljani, kot vsi svojilni zaimki, ki se jim reče tudi dvoosebni. Izpeljani so tako: iz ednine označujejo enega lastnika, kakor iz ἐμοῦ ἐμός; iz dvojine dva, kakor iz νῶϊ νωΐτερος; iz množine več lastnikov, kakor iz ἡμεῖς ἡμέτερος. Nekateri zaimki so brez člena, drugi pa ga lahko imajo, tako je brez člena na primer ἐγώ, s členom pa na primer ὁ ἐμός.*

## ιη´
## περὶ προθέσεως.

Πρόθεσίς ἐστι λέξις προτιθεμένη πάντων τῶν τοῦ λόγου μερῶν ἔν τε συνθέσει καὶ συντάξει. εἰσὶ δὲ αἱ πᾶσαι προθέσεις ὀκτὼ καὶ δέκα, ὧν μονοσύλλαβοι μὲν ἕξ· ἐν, εἰς, ἐξ, σύν, πρό, πρός, αἵτινες οὐκ ἀναστρέφονται· δισύλλαβοι δὲ δύο καὶ δέκα· ἀνά, κατά, διά, μετά, παρά, ἀντί, ἐπί, περί, ἀμφί, ἀπό, ὑπό, ὑπέρ.

## ιθ´
## περὶ ἐπιρρήματος

Ἐπίρρημά ἐστι μέρος λόγου ἄκλιτον, κατὰ ῥήματος λεγόμενον ἢ ἐπιλεγόμενον ῥήματι. Τῶν δὲ ἐπιρρημάτων τὰ μέν ἐστιν ἁπλᾶ, τὰ δὲ σύνθετα· ἁπλᾶ μὲν ὡς πάλαι, σύνθετα δὲ ὡς πρόπαλαι. (α´) τὰ δὲ χρόνου δηλωτικά, οἷον νῦν, τότε, αὖθις· τούτοις δὲ ὡς εἴδη ὑποτακτέον τὰ καιροῦ παραστατικά, οἷον σήμερον, αὔριον, τόφρα, τέως, πηνίκα. (β´) τὰ δὲ μεσότητος, οἷον καλῶς, σοφῶς. (γ´) τὰ δὲ ποιότητος, οἷον πύξ, λάξ, βοτρυδόν (Β 89), ἀγεληδόν (Π 160). (δ´) τὰ δὲ ποσότητος, οἷον πολλάκις, ὀλιγάκις. (ε´) τὰ δὲ ἀριθμοῦ δηλωτικά, οἷον δίς, τρίς, τετράκις. (ϛ´)τὰ δὲ τοπικά, οἷον ἄνω, κάτω· ὧν σχέσεις εἰσὶ τρεῖς, ἡ ἐν τόπῳ, ἡ εἰς τόπον, ἡ ἐκ τόπου, οἷον οἴκοι, οἴκαδε, οἴκοθεν. (ζ´) τὰ δὲ εὐχῆς σημαντικά, οἷον εἴθε, αἴθε, ἄβαλε. (η´) τὰ δὲ σχετλιαστικά, οἷον παπαῖ, ἰού, φεῦ. (θ´) τὰ δὲ ἀρνήσεως ἢ ἀποφάσεως, οἷον οὔ, οὐχί, οὐδῆτα, οὐδαμῶς. (ι´) τὰ δὲ συγκαταθέσεως, οἷον ναί, ναίχι. (ια´) τὰ δὲ ἀπαγορεύσεως, οἷον μή, μηδῆτα, μηδαμῶς. (ιβ´) τὰ δὲ παραβολῆς ἢ ὁμοιώσεως, οἷον ὡς, ὥσπερ, ἠΰτε, καθάπερ. (ιγ´) τὰ δὲ θαυμαστικά, οἷον βαβαῖ. (ιδ´) τὰ δὲ εἰκασμοῦ, οἷον ἴσως, τάχα, τυχόν. (ιε´) τὰ δὲ τάξεως, οἷον ἑξῆς, ἐφεξῆς, χωρίς. (ις´) τὰ δὲ ἀθροίσεως, οἷον ἄρδην, ἅμα, ἤλιθα. (ιζ´) τὰ δὲ παρακελεύσεως, οἷον εἶα, ἄγε, φέρε. (ιη´) τὰ δὲ συγκρίσεως, οἷον μᾶλλον, ἧττον. (ιθ´) τὰ δὲ ἐρωτήσεως, οἷον πόθεν, ποῦ, πηνίκα, πῶς. (κ´) τὰ δὲ ἐπιτάσεως, οἷον λίαν, σφόδρα, πάνυ, ἄγαν, μάλιστα. (κα´) τὰ δὲ συλλήψεως, οἷον ἅμα, ὁμοῦ, ἄμυδις. (κβ´) τὰ δὲ ἀπωμο-

## *18.*
## *O predlogu.*

*Predlog je beseda, ki se postavlja pred vse stavčne člene v v zloženkah in skladnji. Vseh predlogov je osemnajst, od katerih je enozložnih šest: ἐν (v), εἰς (v), ἐξ (iz), σύν (z), πρό (pred), πρός (proti), ki ne prestavljajo naglasa; dvozložnih je dvanajst: ἀνά (na), κατά (pod), διά (skozi), μετά (med), παρά (pri), ἀντί (pred), ἐπί (ob), περί (o), ἀμφί (okoli), ἀπό (na), ὑπό (pod), ὑπέρ (nad).*

## *19.*
## *O prislovu.*

*Prislov je nepregibni stavčni člen, ki govori o glagolu ali je glagolu dodan. Nekateri prislovi so enostavni, drugi sestavljeni; enostavni kakor πάλαι (davno), sestavljeni kakor πρόπαλαι (pred mnogimi časi). (1) Kažejo na čas, kakor νῦν (zdaj), τότε (takrat), αὖθις (spet); tem moramo kot posebno vrsto prišteti tiste, ki kažejo na določen čas, kakor σήμερον (danes), αὔριον (jutri), τόφρα (med tem), τέως (do takrat), πηνίκα (ob kateri uri). (2) Na pravo mero, kakor, καλῶς (lepo), σοφῶς (modro). (3) Na kakovost, kakor πύξ (s pestmi), λάξ (z nogami), βοτρυδόν (grozdasto) (Iliada 2 89), ἀγεληδόν (v gruči)(Iliada 16 160). (4) Na količino, kakor πολλάκις (pogosto), ὀλιγάκις (redko). (5) Kažejo na število, kakor δίς (dvakrat), τρίς (trikrat), τετράκις (štirikrat). (6) Na kraj ἄνω (gor), κάτω (dol), ki imajo tri odnose ali v kraju ali v kraj ali iz kraja, kakor οἴκοι (doma), οἴκαδε (domov), οἴκοθεν (od doma). (7) Izražajo željo, kakor εἴθε, αἴθε, ἄβαλε (vse: o da bi). (8) Jezo ali bolečino, kakor παπαῖ, ἰού, φεῦ (medmeti ki izražajo bolečino, začudenje ali jezo). (9) Odklonitev ali zanikanje, kako οὔ (ne), οὐχί (ne), οὐδῆτα (res ne), οὐδαμῶς (nikakor). (10) Pritrditev, kakor ναί (da), ναίχι (da). (11) Prepoved, kakor μή (ne), μηδῆτα (res ne), μηδαμῶς (nikakor). (12) Primerjavo ali podobnost, kakor ὡς (kot), ὥσπερ (prav kot), ἠΰτε (kot), καθάπερ(prav kot). (11) Začudenje, kakor βαβαῖ. (14) Domnevanje, kakor ἴσως, τάχα, τυχόν (vse: mogoče). (15) Red, kakor ἑξῆς (eden za drugim), ἐφεξῆς (v vrsti), χωρίς (posebe). (16) Združevanje kakor ἄρδην (popolnoma),*

*τικά, οἷον μά. (κγ΄) τὰ δὲ κατωμοτικά, οἷον νή. (κδ΄) τὰ δὲ θετικά, οἷον ἀναγνωστέον, γραπτέον πλευστέον. (κε΄) τὰ δὲ βεβαιώσεως, οἷον δηλαδή. (κς΄) τὰ δὲ θειασμοῦ, οἷον εὐοῖ, εὔάν.*

## *κ΄*
## *περὶ συνδέσμου.*

*Σύνδεσμός ἐστι λέξις συνδέουσα διάνοιαν μετὰ τάξεως καὶ τὸ τῆς ἑρμηνείας κεχηνὸς δηλοῦσα. Τῶν δὲ συνδέσμων οἱ μέν εἰσι συμπλεκτικοί, οἱ δὲ διαζευκτικοί, οἱ δὲ συναπτικοί, οἱ δὲ παρασυναπτικοί, οἱ δὲ αἰτιολογικοί, οἱ δὲ ἀπορηματικοί, οἱ δὲ συλλογιστικοί, οἱ δὲ παραπληρωματικοί. (α΄) Καὶ συμπλεκτικοὶ μὲν οὖν εἰσιν ὅσοι τὴν ἑρμηνείαν ἐπ᾽ ἄπειρον ἐκφερομένην συνδέουσιν. εἰσὶ δὲ οἵδε· μέν, δέ, τέ, καί, ἀλλά, ἠμέν, ἠδέ, ἰδέ, ἀτάρ, αὐτάρ, ἤτοι, κέν, ἄν. (β΄) διαζευκτικοὶ δέ εἰσιν ὅσοι τὴν μὲν φράσιν ἐπισυνδέουσιν, ἀπὸ δὲ πράγματος εἰς πρᾶγμα διιστᾶσιν. εἰσὶ δὲ οἵδε· ἤ, ἤτοι, ἠέ. (γ΄) συναπτικοὶ δέ εἰσιν ὅσοι ὕπαρξιν μὲν οὐ δηλοῦσι, σημαίνουσι δὲ ἀκολουθίαν· εἰσὶ δὲ οἵδε· εἴ, εἴπερ, εἰδή, εἰδήπερ. (δ΄) παρασυναπτικοὶ δέ εἰσιν ὅσοι μεθ᾽ ὑπάρξεως καὶ τάξιν δηλοῦσιν. εἰσὶ δὲ οἵδε· ἐπεί, ἐπείπερ, ἐπειδή, ἐπειδήπερ. (ε΄) αἰτιολογικοὶ δέ εἰσιν ὅσοι ἐπ᾽ ἀποδόσει αἰτίας ἕνεκεν παραλαμβάνονται. εἰσὶ δὲ οἵδε· ἵνα, ὄφρα, ὅπως, ἕνεκα, οὕνεκα, διὅ, διὅτι, καθ᾽ ὅ, καθ᾽ ὅτι, καθ᾽ ὅσον. (ς΄) ἀπορρηματικοὶ δέ εἰσιν ὅσοι ἐπαποροῦντες εἰώθασι συνδεῖν. εἰσὶ δὲ οἵδε· ἆρα, κᾶτα, μῶν. (ζ΄) Συλλογιστικοὶ δέ εἰσιν ὅσοι πρὸς τὰς ἐπιφοράς τε καὶ συλλήψεις τῶν ἀποδείξεων εὖ διάκεινται. εἰσὶ δὲ οἵδε· ἄρα, ἀλλά, ἀλλαμήν, τοίνυν, τοιγάρτοι, τοιγαροῦν. (η΄) παραπληρωματικοὶ δέ εἰσιν ὅσοι μέτρου ἢ κόσμου ἕνεκεν παραλαμβάνονται. εἰσὶ δὲ οἵδε· δή, ῥά, νύ, ποῦ, τοί, θήν, ἄρ, δῆτα, πέρ,*

*ἅμα (skupaj), ἤλιθα (dovolj). (17) Spodbujanje, kakor εἶα, ἄγε, φέρε. (18) Primerjanje, kakor μᾶλλον (bolj), ἧττον (manj). (19) Vprašanje, kakor πόθεν (od kje), ποῦ (kje), πηνίκα (kdaj), πῶς (kako). (20) Poudarek, kakor λίαν (zelo), σφόδρα (vsekakor), πάνυ (brez dvoma), ἄγαν (zelo), μάλιστα (vsekakor). (21) Povezavo, kakor ἅμα (skupaj), ὁμοῦ (skupaj), ἄμυδις (skupaj). (22) Zaklinjanje, kakor μά (uporablja se pri zakletvah). (23) Ojačano pritrditev, kakor νή (močna pritrdilnica). (24) Obveznost, kakor ἀναγνωστέον (treba je prebrati), γαραπτέον (treba je napisati), πλευστέον (treba je pluti). (25) Potrditev, kakor δηλαδή (seveda). (26) Versko navdušenje, kakor εὐοἵ (vzklik pri Dionizijevem kultu), εὐἅν (vzklik na Bkhanalu).*

## *20.*
## *O vezniku.*

*Veznik je beseda, ki povezuje misel v red in kaže na presledke v govoru. Nekateri od veznikov so vezalni, nekateri ločilni, nekateri pogojni, nekateri posledični, nekateri vzročni, nekateri dvomeči, nekateri sklepalni, nekateri zapolnitveni. (1) Vezalni so vsi tisti, ki povezujejo govor, da teče nedoločno naprej. To so tile: μέν, δέ, τέ, καί (in), ἀλλά, ἠμέν, ἠδέ, ἰδέ, ἀτάρ, αὐτάρ, ἤτοι, κέν, ἄν. (2) Ločilni so vsi tisti, ki povezujejo govor tako, da ločujejo dejstvo od dejstva. To so tile: ἤ (ali), ἤτοι (ali), ἠέ (ali). (3) Pogojni so vsi tisti, ki ne kažejo na stvarnost, ampak označujejo izvajanje. To so tile: εἴ (če), εἴπερ (če res), εἰδή (če res), εἰδήπερ (če prav zares). (4) Posledični so vsi tisti, ki poleg stvarnosti označujejo tudi zaporedje. To so tile: ἐπεί (ker), ἐπείπερ (glede na to da), ἐπειδή (ker torej), ἐρειδήπερ (ker prav). (5) Vzročni so vsi tisti, ki se uporabljajo, da razložijo vzrok. To so tile: ἵνα (ker), ὄφρα (da), ὅπως (da), ἕνεκα (zaradi), οὕνεκα (ker), διὅ (zaradi česa), διὅτι (zato), καθ᾽ ὅ (zaradi česa), καθ᾽ ὅτι (ker), καθ᾽ ὅσον (v kolikor). (6) Dvomeči so vsi tisti s katerimi se običajno povezuje kadar se dvomi. To so tile: ἆρα (mar ne), κᾆτα (in potem?), μῶν (pa vendar ne). (6) Sklepalni so vsi tisti, ki so primerni za zaključke in povzetke razlag. To so tile: ἄρα (torej), ἀλλά (ampak), ἀλλαμήν (ampak vseeno), τοίνυν (torej), τοιγάρτοι (zato torej), τοιγαροῦν (zato torej). (7) Zapolnitveni so vsi tisti, ki se uporabljajo zaradi metruma ali v okras. To so tile: δή, ῥά, νύ, ποῦ, τοί, θήν,*

*πώ, μήν, ἄν, αὖ, νῦν, οὖν, κέν, γέ. Τινὲς δὲ προστιθέασι καὶ ἐναντιωματικούς, οἷον ἔμπης ὅμως.*

*ἄρ, δῆτα, πέρ, πώ, μήν, ἄν, αὖ, νῦν, οὖν, κέν, γέ. Nekateri dodajajo še protivne, kakor ἔμπης (vendar), ὅμως (čeprav).*